# ΣΥΝΟΨΙΣ ΧΡΟΝΙΚΗ

φ. 8. ] Τῆς παρούσης πραγματείας ἴσως ἄν τις ἡμᾶς αἰτιάσαιτο, τὰ πολλοῖς καὶ διὰ πολλῶν περιηγημένα κἀκ τούτου δῆλα πᾶσι σχεδὸν, ἰδίαν ποιουμένους ἀφήγησιν· ἄλλος δέ τις καὶ φιλοτιμουμένους ἢ καὶ φανητιῶντας ἐρεῖ, τοῖς ἄλλων λόγοις ὡς ἑαυτῶν ἐπιτερπομένους, καὶ κατὰ τὸν τοῦ μύθου κολοιὸν πτεροῖς ἑτέρων τὴν ἑαυτῶν κατεργαζομένους εὐπρέπειαν. Ἐγὼ δ' ἀλλὰ τοσοῦτον ἀπισχυρίζομαι, μὴ φιλοτιμίᾳ τὴν διήγησιν ταύτην ποιήσασθαι καὶ ἐπὶ τοῖς ἱστορουμένοις μέγα τι φρονῆσαι, ὅτι καὶ παραχωρῶ τῷ βουλομένῳ πατέρα λέγειν τῆς βίβλου ὃν βούλεται· πολὺ γὰρ ἀποδέω τοῦ περὶ τούτων φιλονεικεῖν καὶ τούτοις ὡς ἂν φαίη τις ἐκλαμπρύνεσθαι· οὕτω πᾶν τῶν ἐπιγείων φιλότιμόν μοι καταπεφρόνηται· τὸ δὲ πρῶτον ὁμολογῶν, ἐκεῖνο προστίθημι· εἴρηται μὲν, ὦ λῷστε, ταῦτα πολλοῖς, οὐ κατ' ἀριθμὸν μόνον, ἀλλὰ καὶ δύναμιν λόγου καὶ ῥητορείας κομψότητα, καὶ διὰ πολλῶν στρατηγικὰς καὶ στρα-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ